Berlin, Staatsbibliothek, Phill. 1569, f. 1 recto - 37 verso

f. 1 recto

ῥαζῆ τοῦ θαυμαστοῦ ἰατροῦ λόγος περὶ λοιμικῆς ἐξελληνισθεὶς ἀπὸ τῆς σύρων διαλέκτου πρὸς τὴν ἡμετέραν

ῥαζῆ περὶ λοιμικῆς

ὅτι μὲν οὐδέν τι τῶν συνιστώντων τὴν ἰατρικὴν τέχνην παραλέλοιπε γαληνὸς θεόσεπτε καὶ ἀεισεβέστατε αὐτοκράτορ, οὐδέ τι τῆς τῶν σωμάτων θεραπείας τὲ καὶ ἐπιμελείας τὴν αὐτοῦ διάνοιαν ἐκπέφευγε, πᾶσιν οἶμαι διωμολόγηται ὅσοι τοῖς ἐκείνου συγγράμμασί τε καὶ πονήμασιν ἐμμελῶς ἐντετυχήκασιν οὐ μὴν ὥσπερ γε τοῖς ἄλλοις πεπόνηκται αὐτῶ αἱ πραγματεῖαι οὕτω δὴ καὶ οἱ περὶ τῆς λοιμικῆς νόσου ἐξήπλωται διδασκαλία ἀλλὰ μέμνηται μὲν καὶ ταύτης ἔν τισι λόγοις κατὰ πάροδον

f. 1 verso

καὶ ἐκ τοῦ προήκοντος ἐπιὲ μηδὲ σκοπὸν ἔθετο θεραπείαν τινὰ διδάξαι ὥστε οὐ θαυμαστὸν εἰ μηδέν τι ἀξιόλογον ἔνιοι τῶν νῦν ἰατρῶν περὶ τὴν ταύτης ἐπιμέλειαν ἐνεδέξαντο ἅτε μηδένα ἱκανὴν διδασκαλίαν καὶ ἀπηρτισμένην πρὸς τοῦ τῆς τέχνης καθηγητοῦ παραλαβοντες ἐκεῖνο μὲν οὖν θαύμαστος ἄξιον ὅπως ὁ τὴν ἰατρικὴν τέχνην συγκεχυμένην οὖσαν διοργανώσας καὶ περιωρίσας τὰ ἀόριστα κατέλιπε πρᾶγμα τῶν ἄλλων ἁπάντων ἀναγκαιότατον οὐδεὶς γοῦν σχεδὸν ἀνθρώπων ὃς οὐ χαλωτὸς τῶ τοιούτω νοσήματι καθέστηκεν ἡ δὲ αἰτία λελέξεται ἐν τῶ προσήκοντι καὶ μέν τοι καὶ μετὰ τοὺς χρόνους τοῦ γαληνοῦ ἄνδρες ἐλλόγικοι τὴν ἑλληνικὴν φωνὴν ἔργω καὶ λόγω διαπρέψαντες καὶ τὸν νοῦν πρὸς τὰ ὑψηλότερα τῶν μαθημάτων μετεωρήσαντες εἰς ἄλλα μέν τινα σπουδῆς κἀκεῖνα ἄξια ὅτι πολλοὺς ἐξενηνόχασι ταύτης δὲ οὐδεὶς τούτων ἐμνήσθη οὐκ οἶδα καθ᾽ ὁπότερον εἴ τε οὐκ ἦν αὐτοῖς βούλησις εἴ τε οὐ προσῆν τῆ βουλήσει

f. 2 recto

καὶ δύναμις ἡμεῖς δὲ εἰ καὶ ἠνδὲν σῦν οἴκοθεν συνεισφέρομεν ἀλλ᾽ οὖν πειθόμενοι τῶ προσάγματί σου τὴν παρὰ τοῦ σοφοῦ τούτου ῥαζῆ καλλίστην καὶ τελειοτάτην περὶ τῆς λοιμικῆς νόσου πραγματείαν σαρακηνικαῖς λέξεσιν ἐκτεθειμένην, εἰς τὴν ἑλληνίδα μεταμειψάμενοι φωνὴν ἠνέγκαμεν τῶ κράτει σου ὡς ἂν μὴ δὲ ταύτης ἄμοιρος ἡ θεόσοφός σου εἴη ψυχὴ ψυχροφελοῖς οὔσης τῆς σπουδῆς καὶ κοινωφελοῦς τῆς προνοίας εἰ δὲ καὶ ἐγνώμονες καὶ δεκτέοι κριθείημεν σοὶ τῶ ἀγαθῶ δεσπότη καὶ βασιλε σοὶ χάρις ἀὴν εἴη τῶ προτρέψαντι καὶ κινήσαντι καὶ καθ᾽ ἑκάστην πρὸς πᾶν ἀγαθὸν ὁδεηγοῦντι ἀρξώμεθα οὖν τὴν το σοφοῦ διδασκαλίαν ἐξελληνίσαι τὴν ἐν ὑπόστρατον θυ σοφίαν ὁδηγὸν γενέσθαι ἐπικαλούμενοι ἀπαίστως διελθεῖν τὴν προκειμένην θεωρίαν καὶ μὴ ἐπιθάττερα μετακλίνειν ἀλλ᾽ ὥσπερ ἐπὶ κάλων βαίνοντες ἀτέρμα διοδεύοντες ἔνθεν κἀκεῖθεν ἀρρεπεῖς τε καὶ ἄτρεποι μήτε λέξιν ἐπαμφοτερίζουσαν